Ακαδημία Αθηνών / Academy of Athens

**κόσμιον (ἐστί).** (Εἶναι) κόσμιο/(εἶναι) εὐπρεπές, (it is) well ordered/(it is) seemly, Δημόκριτος 47 *νόμῳ καὶ ἄρχοντι καὶ τῷ σοφωτέρῳ εἴκειν κόσμιον.*

**Κοσμογραφίη.** Περιγραφὴ τοῦ κόσμου, cosmography, Δημόκριτος 5a (τίτλ.) *Κοσμογραφίη.* Πρβλ. *κόσμος.*

**κόσμος 1.** Κόσμος/σύμπαν, world/universe, Ἀναξιμένης 2 *οἷον ἡ ψυχὴ ... ἡ ἡμετέρα ἀὴρ οὖσα συγκρατεῖ ἡμᾶς, καὶ ὅλον τὸν κόσμον πνεῦμα καὶ ἀὴρ περιέχει* Πυθαγόρας Α 21 (DK I 105,25) Πυθαγόρας πρῶτος ὠνόμασε τὴν τῶν ὅλων περιοχὴν *κόσμον* ἐκ τῆς ἐν αὐτῷ τάξεως Ἡράκλειτος 30 *κόσμον τόνδε, τὸν αὐτὸν ἁπάντων, οὔτε τις θεῶν οὔτε ἀνθρώπων ἐποίησεν* Ἐμπεδοκλῆς 134.5 *ἀλλὰ φρὴν ἱερὴ καὶ ἀθέσφατος ἔπλετο μοῦνον, φροντίσι κόσμον ἅπαντα καταΐσσουσα θοῇσιν* Φιλόλαος 1 *ἁ φύσις δ' ἐν τῷ κόσμῳ ἁρμόχθη ἐξ ἀπείρων τε καὶ περαινόντων, καὶ ὅλος ⟨ὁ⟩ κόσμος καὶ τὰ ἐν αὐτῷ πάντα* 2.6 *ἐκ περαινόντων τε καὶ ἀπείρων ὅ τε κόσμος καὶ τὰ ἐν αὐτῷ συναρμόχθη* 6.6-13 *οὐχ οἷον τ' ἦν οὐθὲν τῶν ἐόντων καὶ γιγνωσκόμενον ὑφ' ἁμῶν γα γενέσθαι μὴ ὑπαρχούσας τᾶς ἐστοῦς τῶν πραγμάτων, ἐξ ὧν συνέστα ὁ κόσμος, καὶ τῶν περαινόντων καὶ τῶν ἀπείρων ... τὰ μὲν ὦν ὁμοῖα καὶ ὁμόφυλα ἁρμονίας οὐδὲν ἐπεδέοντο, τὰ δὲ ἀνόμοια μηδὲ ὁμόφυλα μηδὲ ἰσοταγῆ ἀνάγκα τᾷ τοιαύτᾳ ἁρμονίᾳ συγκεκλεῖσθαι, οἵᾳ μέλλοντι ἐν κόσμῳ κατέχεσθαι* Ἀναξαγόρας 8 *οὐ κεχώρισται ἀλλήλων τὰ ἐν τῷ ἑνὶ κόσμῳ οὐδὲ ἀποκέκοπται πελέκει* Διογένης 2.3-5 *εἰ γὰρ τὰ ἐν τῷδε τῷ κόσμῳ ἐόντα νῦν, γῆ καὶ ὕδωρ καὶ ἀὴρ καὶ πῦρ καὶ τὰ ἄλλα ὅσα φαίνεται ἐν τῷδε τῷ κόσμῳ ἐόντα* Δημόκριτος 5c (τίτλ.) *Περὶ φύσεως Α ⟨ἢ Περὶ κόσμου φύσιος⟩* Δημόκριτος 247 *ἀνδρὶ σοφῷ πᾶσα γῆ βατή· ψυχῆς γὰρ ἀγαθῆς πατρὶς ὁ ξύμπας κόσμος.* ||**(μικρός) κόσμος.** Μικρόκοσμος, microcosm, Δημόκριτος 34 *ἐν τῷ ἀνθρώπῳ μικρῷ κόσμῳ ὄντι ... καὶ τὸ ζῷον οἷον μικρόν τινα κόσμον* εἶναί φασιν ἄνδρες παλαιοὶ περὶ φύσιν ἱκανοὶ **2.** Ἁρμονικὴ διάταξη, harmonious arrangement, Ἡράκλειτος 124 *ὥσπερ σάρμα εἰκῇ κεχυμένων ὁ κάλλιστος ... κόσμος* Παρμενίδης 4.3 *οὐ γὰρ ἀποτμήξει τὸ ἐὸν τοῦ ἐόντος ἔχεσθαι οὔτε σκιδνάμενον πάντῃ πάντως κατὰ κόσμον οὔτε συνιστάμενον* Μέλισσος 7(3)

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

*ἀλλ' οὐδὲ μετακοσμηθῆναι ἀνυστόν· ὁ γὰρ κ ό σ μ ο ς ὁ πρόσθεν ἐὼν οὐκ ἀπόλλυται οὔτε ὁ μὴ ἐὼν γίνεται* Ἐμπεδοκλῆς 26.5 *ἄλλοτε μὲν Φιλότητι συνερχόμεν' εἰς ἕνα κ ό σ μ ο ν, ἄλλοτε δ' αὖ δίχ' ἕκαστα φορούμενα Νείκεος ἔχθει* **3.** Σύνθεση, ordered structure, Παρμενίδης 8.52 *δόξας δ' ἀπὸ τοῦδε βροτείας μάνθανε κ ό σ μ ο ν ἐμῶν ἐπέων ἀπατηλὸν ἀκούων* Δημόκριτος 21 *Ὅμηρος φύσεως λαχὼν θεαζούσης ἐπέων κ ό σ μ ο ν ἐτεκτήνατο παντοίων* **4.** Τμῆμα τοῦ σύμπαντος, portion of the universe, Φιλόλαος A 16 (DK II 403,22) τὰ δὲ ὑπὸ τὴν τοῦ ὀλύμπου φοράν, ἐν ᾧ τοὺς πέντε πλανήτας μεθ' ἡλίου καὶ σελήνης τετάχθαι, *κ ό σ μ ο ν* **5.** Κόσμημα/διακόσμηση, ornament/adornment, Δημόκριτος 180 *ἡ παιδεία εὐτυχοῦσι μέν ἐστι κ ό σ μ ο ς, ἀτυχοῦσι δὲ καταφύγιον* 195 *εἴδωλα ἐσθῆτι καὶ κ ό σ μ ῳ διαπρεπέα πρὸς θεωρίην, ἀλλὰ καρδίης κενεά* 274 *κ ό σ μ ο ς ὀλιγομυθίη γυναικί· καλὸν δὲ καὶ κ ό σ μ ο υ λιτότης* **6.** Σύστημα (πολιτικοκοινωνικό), ordered society (socio-political), Δημόκριτος 258.4 *δίκης καὶ θάρσεος καὶ κτήσεως (?) ἐν παντὶ κ ό σ μ ῳ μέζω μοῖραν μεθέξει* 259.4 *κατὰ νόμους τοὺς πατρίους κτείνειν πολέμιον ἐν παντὶ κ ό σ μ ῳ, ἐν ᾧ μὴ νόμος ἀπείργει.* Πρβλ. *διάκοσμος, διακόσμησις, κοσμεῖσθαι, διακοσμεῖν, μετακοσμεῖσθαι.*

**Κότος.** Μῖσος (προσωποπ.), Hatred (personif.), Ἐμπεδοκλῆς 21.7 *ἐν δὲ Κ ό τ ῳ διάμορφα καὶ ἄνδιχα πάντα πέλονται* 121.2 *ἀτερπέα χῶρον, ἔνθα Φόνος τε Κ ό τ ο ς τε καὶ ἄλλων ἔθνεα Κηρῶν.*

**κούρη.** Βλ. **κόρη.**

**κοῦρος** (συνών. *νέος*). Ἀγόρι/νέος, boy/young man, Παρμενίδης 1.24 *ὦ κ ο ῦ ρ' ἀθανάτοισι συνάορος ἡνιόχοισιν* 17 *δεξιτεροῖσιν μὲν κ ο ύ ρ ο υ ς, λαιοῖσι δὲ κούρας* Ἐμπεδοκλῆς 117.1 *ἤδη γάρ ποτ' ἐγὼ γενόμην κ ο ῦ ρ ό ς τε κόρη τε θάμνος τ' οἰωνός τε καὶ ἔξαλος ἔλλοπος ἰχθύς.* Πρβλ. *ἄρρην, ἄνηβος.*

**κραδαίνειν.** Κραδαίνω/κινῶ, wave/move, Ξενοφάνης 25 *ἀλλ' ἀπάνευθε πόνοιο νόου φρενὶ πάντα κ ρ α δ α ί ν ε ι.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ